A ἀδυνατοῦσι γὰρ δὶς ἐφεξῆς ποιεῖν αὐτό. ἢ ὅτι τὸ μὲν, δίωσίς τις ἐστί· τὸ δὲ, συναγωγὴ τόπου· ἃ ἄχρι τινός ἐστι δυνατὰ γίνεσθαι; φανερὸν οὖν ὅτι ἐναλλὰξ ἀνάγκη ἄμφω γίνεσθαι, καὶ ἀδύνατον δὶς ἐφεξῆς. θ Διὰ τί ἑτέρου τόπου ὄντος ᾗ τὰ σιτία καὶ τὸ ποτὸν διεξέρχεται, καὶ ᾗ ἀναπνέομεν, ἐὰν μείζω ψωμὸν καταπίωμεν, πνιγόμεθα; οὐδὲν δὴ ἄτοπον. οὐ γὰρ μόνον ἐάν τι ἐμπέσῃ εἰς τὸν τόπον τοῦτον, ἀλλὰ κἂν ἔτι φραχθῇ, οὕτω μᾶλλον πνι- B γόμεθα. ταῦτα δὲ παράλληλά ἐστι, καθ' ὅ, τε τὰ σιτία δεχόμεθα, καὶ καθ' ὃ ἀναπνέομεν. ὅταν οὖν ἐμπέσῃ μείζων ψωμὸς, καὶ ἡ ἀναπνοὴ συμφράττει· ὥστε μὴ εἶναι τῷ πνεύματι ἔξοδον. ι Διὰ τί ὅσοι τὴν διὰ χειρὸς τομὴν ἔχουσι δι' ὅλης, μακροβιώτατοι; ἢ διότι τὰ ἄναρθρα, βραχύβια καὶ ἀσθενῆ; σημεῖον δὲ τῆς μὲν ἀσθενείας, τὰ νέα· τῆς δὲ βρα- C χυβιότητος, τὰ ἔνυγρα. δῆλον ἄρα ὅτι τὰ ἠρθρωμένα τοὐναντίον. τοιαῦτα δὲ, ὧν καὶ τὰ φύσει ἄναρθρα, μάλιστα ἤρθρωται. τῆς δὲ χειρὸς τὸ ἔσω, ἀναρθρότατον. ια Διὰ τί ἐν τῷ μακρὸν ἀναπνεῖν, ἑλκόντων μὲν εἴσω τὸ πνεῦμα, συμπίπτει ἡ κοιλία· ἐκπνεόντων δὲ, πληροῦται; πιθανὸν δ' ἐστὶν τοὐναντίον συμβαίνειν. ἢ ὅτι τῶν μὲν ἀναπνεόντων, συμπιε- D ζομένη ταῖς πλευραῖς κάτω, καθάπερ αἱ φῦσαι, προσογκεῖν φαίνεται; ιβ Διὰ τί ἀναπνέομεν; ἢ καθάπερ τὸ ὑγρὸν εἰς πνεῦμα διαλύεται, οὕτω καὶ τὸ πνεῦμα εἰς τὸ πῦρ; τὸ τῆς φύσεως οὖν θερμὸν, ὅταν τὸ πολὺ τοῦ πνεύματος πῦρ ποιήσῃ, ἀλγηδόνα ἐμποιεῖ, τοὺς δὲ πόρους καὶ ὄγκον· διόπερ ἐξωθοῦμεν τὸ πῦρ μετὰ τοῦ πνεύματος. ὅταν δὲ ἐ- E ξέλθῃ τὸ πνεῦμα καὶ τὸ πῦρ, συμπιπτόντων τῶν πόρων καὶ καταψυχομένων, ἀλγηδόνες γίνονται. ἕλκομεν οὖν τὸ πνεῦμα πάλιν· εἶτα ἀνοίξαντες τοῦ σώματος τοὺς πόρους καὶ βοηθήσαντες, πάλιν γίνεται τὸ πῦρ, καὶ πάλιν ἀλγοῦντες ἐκπέμπομεν, καὶ διὰ τέλους τοῦτο πράττομεν, καθάπερ καὶ σκαρδαμύσσομεν, κατὰ τὸ καταψύχεσθαι τὸ περὶ τὸν ὀφθαλμὸν σῶμα, καὶ ξηραίνεσθαι. καὶ βαδίζομεν οὖν F προσέχοντες τῇ βαδίσει τὸν νοῦν, κυβερνωμένης δὲ τῆς διανοίας [αὐτοῖς ......]

bis enim ex ordine id facere nequimus. An quoniam alterum dilatatio, alterum contractio loci est: idcirco quadatenus, non vsquequaque possunt. Constat igitur ambo vicissim fieri necessum: bis verò ex ordine posse neutrum. 9 Quam ob causam cùm alius locus sit, quà cibus, potúsque transeunt, alius quà spiramus, vbi grãdiorem buccellam deuorauimus, strangulemur? An nihil absurdum id est: non modò enim si alicuius interuentu locus spirandi stipatus sit, verùm etsi adductus sit extrinsecus, æquè, imò magis, abstrangulamur. Isthæc verò proxima inter sese posita sunt, quo cibum excipimus, & quo spiramus: quare vbi iusto amplius frustum incidit, locum spirandi proximum adducit, instringítque, vt via spiritui omnis denegetur. 10 Cur homines, qui virgulam suæ palmæ ductam per totam latitudinem habent, vitæ longissimæ esse possunt? An quia breuis ætatis, imbecilláque sunt, quæ artuum beneficio carent. Imbecillitatis indicium ætas prima, atque tenerrima affert: vitæ autem breuis testimonium dat genus omne aquatile: quæ cùm ita sint coarctata, compactáque omnia contra sese habere liquidò est: quo in genere illa etiam sunt, quæ cùm ex natura artubus maximè careant: articulari tamen contigerit: palmæ autem partem interiorem penitus carere articulo certum est. 11 Quam ob causam dum longè spiramus, venter trahentibus adducitur, reddentibus diducitur, atque repletur? Veri enim simile dixeris esse, vt contrà veniat. An quia cùm respiramus, venter adductis costis in imum comprimitur: idcirco distendi in ampliorem molem follium instar appareat. 12 Quam ob causam spirare necesse habeamus? An quemadmodum humor dissolui in spiritum potest, sic spiritus transire potest in ignem. Calor itaque naturalis vbi bonam spiritus partem in ignem conuertit, dolorem admouet, atque etiam meatus diducit, & ampliat. Quam ob rem ignem cum spiritu expellere cogimur: quibus extrusis meatus contrahuntur: atque refrigerantur: itaque dolor iterum tentat. Rursum igitur aerem trahimus, atque vbi posthac spirandi meatus patefecimus, vocémque reddidimus, ignis iterum oritur, atque iterum præ dolore spiritum reddimus, ídque vicissim ordine perpetuo agimus: sicuti etiam palpebras agitare solemus, vt corpus oculorum refrigeretur, assiccetúrque. Et verò cùm ambulamus, ingressui nostro attendimus, scilicet ex ordine gubernandi, atque regendi, quem vis nostra intelligẽdi percommodè astruit.